σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς
ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.
δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστη-
σας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.
Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,
πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτή-
νη τοῦ πεδίου.
Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς
θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου
ἐν πάσῃ τῇ γῇ.

Κάθισμα α'.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ.

Ψαλμὸς τῷ Δαβίδ. θ'.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ
καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμά-
σιά σου.
Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί,
ψαλῶ τῷ ὀνόματί σου ὕψιστε.
Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ
ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου
σου.